ὁμιλίας κελεῦσαι κατανοεῖν, ὅτι συμβαίνει καὶ τοὺς πατέρας
ἐπὶ τῆς θηλείας φύσεως παρακεχωρηκέναι μᾶλλον ἀγαπᾶ-
σθαι τοὺς γεγαμηκότας ἢ τοὺς τεκνώσαντας αὐτάς. διὸ κα-
λῶς ἔχειν ἢ μηδὲ ἐναντιοῦσθαι πρὸς τοὺς ἄνδρας, ἢ τότε
55 νομίζειν νικᾶν, ὅταν ἐκείνων ἡττηθῶσι. ἔτι δὲ τὸ περιβόη-
τον γενόμενον ἀποφθέγξασθαι κατὰ τὴν σύνοδον, ὡς ἀπὸ
μὲν τοῦ συνοικοῦντος ἀνδρὸς ὅσιόν ἐστιν αὐθημερὸν προσιέ-
ναι τοῖς ἱεροῖς, ἀπὸ δὲ τοῦ μὴ προσήκοντος οὐδέποτε.
παραγγεῖλαι δὲ καὶ κατὰ πάντα τὸν βίον αὐτάς τε εὐφη-
μεῖν καὶ τοὺς ἄλλους ὁρᾶν ὁπόσα ὑπὲρ αὐτῶν εὐφημή-
σουσι, καὶ τὴν δόξαν τὴν διαδεδομένην μὴ καταλύσωσι
μηδὲ τοὺς μυθογράφους ἐξελέγξωσιν, οἳ θεωροῦντες τὴν
τῶν γυναικῶν δικαιοσύνην ἐκ τοῦ προΐεσθαι μὲν ἀμάρτυρον
τὸν ἱματισμὸν καὶ τὸν κόσμον, ὅταν τινὶ ἄλλῳ δέῃ χρῆσαι,
μὴ γίγνεσθαι δὲ ἐκ τῆς πίστεως δίκας μηδ᾽ ἀντιλογίας,
ἐμυθοποίησαν τρεῖς γυναῖκας ἑνὶ κοινῷ πάσας ὀφθαλμῷ
χρωμένας διὰ τὴν εὐχερῆ κοινωνίαν· ὅπερ ἐπὶ τοὺς ἄρρε-
νας μετατεθέν, ὡς ὁ προλαβὼν ἀπέδωκεν εὐκόλως, ἑτοί-
μως καὶ τῶν ἑαυτοῦ μεταδιδούς, οὐδένα ἂν προσδέξασθαι
56 λεγόμενον, ὡς μὴ οἰκεῖον αὐτῶν τῇ φύσει. ἔτι δὲ τὸν
σοφώτατον τῶν ἁπάντων λεγόμενον καὶ συντάξαντα τὴν
φωνὴν τῶν ἀνθρώπων καὶ τὸ σύνολον εὑρετὴν καταστάντα
τῶν ὀνομάτων, εἴτε θεὸν εἴτε δαίμονα εἴτε θεῖόν τινα
ἄνθρωπον, συνιδόντα διότι τῆς εὐσεβείας οἰκειότατόν ἐστι
τὸ γένος τῶν γυναικῶν ἑκάστην τὴν ἡλικίαν αὐτῶν συν-